13 *παρέχεται. τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν χρὴ καὶ*
*εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ τοῖς στέρνοις·*
*ἢν δὲ πάντα στερεὰ ᾖ, κουφότερα ἂν τὰ πρὸς τὸν δρόμον*
14 *εἴη καὶ ὀξύτερον μᾶλλον αὖ τὸν ἵππον παρέχοιτο. μηρούς*
*γε μὴν τοὺς ὑπὸ τῇ οὐρᾷ ἢν ἅμα πλατείᾳ τῇ γραμμῇ δι-*
*ωρισμένους ἔχῃ, οὕτω καὶ τὰ ὄπισθεν σκέλη διὰ πολλοῦ*
*ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα γοργοτέραν τε καὶ ἰσχυρο-*
*τέραν ἕξει τὴν ὑπόβασίν τε καὶ ἱππασίαν καὶ ἅπαντα βελ-*
*τίων ἔσται ἑαυτοῦ. τεκμήραιο δ᾽ ἂν καὶ ἀπ᾽ ἀνθρώπων·*
*ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρασθαι βούλωνται, διαβαίνοντες*
*πάντες μᾶλλον ἢ συμβεβηκότες ἐπιχειροῦσιν αἴρεσθαι.*
15 *τούς γε μὴν ὄρχεις δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ*
*ἔστι πώλου κατιδεῖν. περί γε μὴν τῶν κάτωθεν, ἀστραγάλων*
*ἢ κνημῶν καὶ κυνηπόδων καὶ ὁπλῶν, τὰ αὐτὰ λέγομεν, ἅπερ*
16 *περὶ τῶν ἔμπροσθεν. γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ*
*μεγέθους ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ*
*κνῆμαι εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γί-*
*γνεται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετραπόδων*
*αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται, πρὸς δὲ ταύτας,*
*ὡς ἂν συμμέτρως ἔχῃ, συναύξεται καὶ τὸ ἄλλο σῶμα.*
17 *Εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες μάλιστ᾽ ἂν ἡμῖν*
*δοκοῦσι τυγχάνειν εὔποδος καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐ-*
*σχήμονος καὶ εὐμεγέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλ-*
*λουσιν, ὅμως οὕτω θαρροῦντες δοκιμάζωμεν· πολὺ γὰρ πλεί-*
*ονες εὔχρηστοι ἐξ αἰσχρῶν ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται.*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/12 UNIVERSITÄT LEIPZIG